# ACTA

ET

# DIPLOMATA

## GRAECA MEDII AEVI

## SACRA ET PROFANA

COLLECTA EDIDERUNT

FRANCISCUS MIKLOSICH ET IOSEPHUS MÜLLER

VOLUMEN SEXTUM

VINDOBONAE
CAROLUS GEROLD
MDCCCXC.

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ
ΤΟΜΕΑΣ ΦΙΛΟΣΟΦΙΑΣ
ΕΡΓΑΣΤΗΡΙΟ ΕΡΕΥΝΩΝ ΝΕΟΕΛΛΗΝΙΚΗΣ ΦΙΛΟΣΟΦΙΑΣ
ΔΙΕΥΘΥΝΤΗΣ: ΕΠ. ΚΑΘΗΓΗΤΗΣ ΚΩΝΣΤΑΝΤΙΝΟΣ Θ. ΠΕΤΣΙΟΣ
Ε.Υ.Δ της Κ.τ.Π
ΙΩΑΝΝΙΝΑ 2006

# ACTA
ET
# DIPLOMATA
## MONASTERIORUM ET ECCLESIARUM ORIENTIS

SUMTUS PRAEBENTE CAESAREA SCIENTIARUM ACADEMIA VINDOBONENSI

COLLECTA EDIDERUNT

FR. MIKLOSICH
PROF. UNIVERSIT. VINDOBONENSIS

ET

IOS. MÜLLER
PROF. UNIVERSIT. TAURINENSIS

TOMUS TERTIUS

ΧΑΡΑΛ. Ι. ΣΠΑΝΟΣ
ΙΠΠΟΚΡΑΤΟΥΣ 23
ΑΘΗΝΑΙ — ΕΛΛΑΣ

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ
ΤΟΜΕΑΣ ΦΙΛΟΣΟΦΙΑΣ
ΕΡΓΑΣΤΗΡΙΟ ΕΡΕΥΝΩΝ ΝΕΟΕΛΛΗΝΙΚΗΣ ΦΙΛΟΣΟΦΙΑΣ
ΔΙΕΥΘΥΝΤΗΣ: ΕΠ. ΚΑΘΗΓΗΤΗΣ ΚΩΝΣΤΑΝΤΙΝΟΣ Θ. ΠΕΤΣΙΟΣ
Ε.Υ.Δ της Κ.τ.Π
ΙΩΑΝΝΙΝΑ 2006

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ
ΕΡΓΑΣΤΗΡΙΟ ΕΡΕΥΝΩΝ ΝΕΟΕΛΛΗΝΙΚΗΣ ΦΙΛΟΣΟΦΙΑΣ
ΤΟΜΕΑΣ ΦΙΛΟΣΟΦΙΑΣ
ΔΙΕΥΘΥΝΤΗΣ: ΕΠΙΚ. ΚΑΘΗΓΗΤΗΣ ΚΩΝΣΤΑΝΤΙΝΟΣ Θ. ΠΕΤΣΙΟΣ

ΑΝΕΤΥΠΩΘΗ ΑΠΟ ΤΟ ΕΚΔΟΤΙΚΟ ΚΑΤΑΣΤΗΜΑ
***ΧΑΡΑΛΑΜΠΟΥΣ ΣΠΑΝΟΥ***
ΙΠΠΟΚΡΑΤΟΥΣ 23
ΑΘΗΝΑΙ — ΕΛΛΑΣ
ΣΕ 300 ΑΝΤΙΤΥΠΑ
ΥΠΟΓΕΓΡΑΜΜΕΝΑ ΚΑΙ ΗΡΙΘΜΗΜΕΝΑ
ΑΠΟ ΤΟΝ ΕΚΔΟΤΗ

Ε.ρ.Δ της Κ.τ.Π
ΙΩΑΝΝΙΝΑ 2006

Hujus voluminis exscripta sunt exemplaria trecenta.

Typis ADOLPHI HOLZHAUSEN typographi Vindobonensis.

# DIPLOMATA

ET

# ACTA

## MONASTERII SANCTI IOANNIS THEOLOGI

## IN PATMO INSULA.

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ
ΤΟΜΕΑΣ ΦΙΛΟΣΟΦΙΑΣ
ΕΡΓΑΣΤΗΡΙΟ ΕΡΕΥΝΩΝ ΝΕΟΕΛΛΗΝΙΚΗΣ ΦΙΛΟΣΟΦΙΑΣ
ΔΙΕΥΘΥΝΤΗΣ: ΕΠ. ΚΑΘΗΓΗΤΗΣ ΚΩΝΣΤΑΝΤΙΝΟΣ Θ. ΠΕΤΣΙΟΣ
Ε.Υ.Δ της Κ.τ.Π
ΙΩΑΝΝΙΝΑ 2006

# PRAEFATIO.

Cum Aegaei maris insulas Ludovicus Rossius pervestigasset, nec non ad Patmum insulam se contulisset, multas in Sancti Ioannis Theologi monasterio, cuius magnum clarumque adhuc vivit vigetque nomen, asservatas repperit tabulas, quae ad Byzantini imperii tempora pertinerent, quarum praeclarum pondus ac momentum cum vidisset,[1]) praesertim ad domesticas huius imperii res illustrandas non tantum viros doctos certiores fecit, sed etiam, ut aliquid in lucem prodiret, tabulam edidit: quod huiusce monasterii primum evasit monumentum nostratibus cognitum.[2]) Mirum quantum viros eruditos studio accendit has tabulas adeundi atque pervolvendi, quae maiorem aevi illius, quod medium vocant, cognitionem pollicerentur.[3]) Triginta ferme post annis Hierotheus Florides, huius monasterii ab actis, in graecis quibusdam ephemeridibus, quas haud multi adibant, tabularum omnium edidit indicem:[4]) qui eum adiuvit, Ioannes Sakkelion, ex his interdum nonnullas in variis ephemeridibus publici iuris fecit:[5]) cunctas

[1]) Hier sind vom Ende des XI. Jahrhunderts bis zur Einnahme von Constantinopel zwischen 40 und 50 kaiserliche Bullen im Original beisammen, wie man sie nicht leicht irgendwo gesammelt findet, und da sie sich fast alle auf gemachte Schenkungen oder auf die dem Kloster aufgelegten Leistungen beziehen, so bilden sie für die Kenntniss der inneren Verwaltung des byzantinischen Reiches eine Quelle, die vielleicht einzig in ihrer Art ist. L. Ross, Reisen auf den griechischen Inseln des ägäischen Meeres. Stuttgart und Tübingen, 1848, Vol. II, p. 135.

[2]) Est autem aurea bulla Alexii I Comneni, qua S. Christodulo donat totam insulam Patmum. Ibid. p. 179 seq.; confr. nro XIII huius voluminis.

[3]) Has antiquitatis reliquias ut alii in lucem protrahant, magnopere opto. C. E. Zachariae a Lingenthal, Ius graeco-romanum, Pars III. Lipsiae, MDCCCLVII. Praef. p. X.

[4]) Πανδώρα, Athenis, inde a dec. 1868 usque ad maium 1869. Confr. annotationem ad tab. I, p. 3 huius voluminis.

[5]) In eadem ephemeride et in alia inscripta Εὐαγγελικὸς Κῆρυξ. Vid. annotationes in fine singularum tabularum. Unam edidit etiam A. M. Gedeon in Ephemerid. Ἐκκλησιαστικὴ Ἀλήθεια. Confr. nro X huius vol.

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ ΤΟΜΕΑΣ ΦΙΛΟΣΟΦΙΑΣ ΕΡΓΑΣΤΗΡΙΟ ΕΡΕΥΝΩΝ ΝΕΟΕΛΛΗΝΙΚΗΣ ΦΙΛΟΣΟΦΙΑΣ ΔΙΕΥΘΥΝΣΗ: ΕΠ. ΚΑΘΗΓΗΤΗΣ ΚΩΝΣΤΑΝΤΙΝΟΣ Θ. ΠΕΤΣΙΟΣ
Ε.Υ. Δ της Κ.Ε.Π.Π. ΙΩΑΝΝΙΝΑ 2006

fere innotuerat maxima Floridem cum diligentia descripsisse, magnum quidem et diuturnum opus, quo insignem ille meruit laudem. Maior enim et numerus tabularum et amplitudo erat, quam quae a quodam nostratium, brevi temporis spatio, quod illi itineribus, quae propter doctrinae amorem suscipiuntur, dant, tempestateque illa, qua morari in coenobio solent, omnes describi possent. Sakkelioni autem quae descripserat edere in animo erat; sed cum, quae vellet, perficere adhuc non potuisset doctorumque virorum desiderio nullus obvius fieri videretur, consilium nobis fuit, ut ille nobis exemplaria, quae ipse confecisset, traderet, quae non confecisset, per eruditum monachum describenda curaret. Nam Sakkelion eas tantum tabulas collegit, quae usque ad Byzantini imperii casum pertinerent, paucis admodum additis recentioris aetatis. Tabulas vero omnes edere operae pretium cum videretur unoque volumine contineri, monachus ille, quem diximus, recentiores tabulas descripsit, cum pactae condiciones Sakkelioni placuissent. His tabulas adiungi volumus alio quam graeco sermone confectas, per nos ad meliorem lectionem perductas et ratione temporum et ordine dispositas, ex quibus patet, quae res, inter monasterium et Romanos pontifices, Venetias, Rhodi insulae equites aliosque illarum regionum, quae ad occidentem solem pertinent, principes intercesserint. Has iam ediderant Bayet, O. Rayet, Sebastianus Pauli: nos unam tabulam addidimus, quae nondum in lucem prodierat.

Doctis viris igitur omnes Patmiensis monasterii exhibemus tabulas multis perlatis laboribus difficultatibusque superatis, ut accuratam editionem perficere possemus. Quod opus ut ad exitum perduceremus, caesareae Vindobonensi academiae litterarum merito tribuere debemus, qua auspice, ut priora huius corporis volumina, sic et sextum hoc in lucem prodit. Huic igitur academiae maximas agimus gratias omnibusque doctis viris, quorum auxiliis licuit uti, praesertim Spiridioni Lambros, in Athenaeo atheniensi publice historiam docenti, qui in hoc opere conficiendo, ut est nobis amicissimus, egregium nobis praebuit auxilium, certe si is nobis non adfuisset, quae hoc volumine tabulae continentur, ineditae adhuc manerent.[1])

Vindobonae et Augustae Taurinorum, mense novembri MDCCCLXXXIX.

**Editores.**

[1]) His tabulis Eduardus Le Barbier usus est, in primis bullis aureis, quas inspexit anno 1853, in libello, qui inscribitur: Saint Christodoule et la réforme des convents grecs au XI[e] sièce. Paris, 1863. Parvi tamen est libellus momenti, cui haud exiguum detrimentum scriptoris levitas attulit.

ΨΗΦΙΟΠΟΙΗΘΗΚΕ ΑΠΟ ΤΗΝ ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

# Diplomata et acta monasterii Sancti Ioannis Theologi in insula Patmo e tabulario coenobii.

## I. 6581—1073, mense februario ind. XI.

*Imperator Michaël VI., Ducas Parapinaces Andronico Ducae donat praedia in regione Alopecarum prope Miletum sita.*

. . . . . . . . . . . . . . . . . . τοῦ] Μελανίου· τοῦ . . . . . . . . . . .

. . . . . . . . . . . . . . . τοῦ προαστείου Γαλαΐδων . . . . . . . . . . .

. . . . . . . . . παροίκοις, παροικοτοπίοις, αὐτουργίοις καὶ . . . . . . . . .

. . . . . . . . . . ὁθενδήποτε ἀνηκούσης αὐτοῖς, ὀφείλοντος . . . . . . . . .

. . . . . . . . ζον τούτου ἐξ ὁλοκλήρου εἰς δεσποτείαν ἀπέραντον . . . . . .

. . . . . . . . . καὶ παντοίας διακατοχῆς, ἀλλὰ καὶ πάσας τὰς . . . . . . . .

. . . . . . . . . . . . . . ἀπολαβεῖν, καὶ ὑπὲρ τῆς παρούσης ἑνδεκάτης [ἰνδικτιῶνος . . . . . . . . ] ἴσως τινὲς τῷ δημοσίῳ εἰσοδιασθῆναι, καὶ τῷ σεκρέτῳ [ . . . . . . . . . . οὐχ ἕ]ξει τις ἐπ' ἀδείας ἐν οἱῳδήποτε χρόνῳ, καθ' οἱονδήτινα τρόπον, χάριν τῆς . . . . . . . προσυζητήσεως καὶ διατιμήσεως, καὶ εὑρεσιλογίας χάριν, ἢ τίμημα ἐπὶ τούτοις ζητεῖν ἢ πάκτον ἢ συνήθειαν, τῷ τε δημοσίῳ καὶ τοῖς πράκτορσι καὶ αὐτοῖς τοῖς λογαριάζουσι τὴν τοιαύτην ἐπίσκεψιν παρεχομένην· ἐξέκοψε γὰρ ταῦτα πάντα διὰ τοῦ παρόντος χρυσοβούλλου λόγου ἡ γαληνότης ἡμῶν ἀπ' αὐτῆς ἀρχῆς τῆς παρούσης ἑνδεκάτης ἰνδικτιῶνος καὶ ἕως ἂν ὁ παρὼν διαρκῇ αἰών, καὶ ἀ[ζήτητα] καὶ ἀνενόχλητα σεκρετικῆς πάσης εὑρεσιλογίας καὶ συζητήσεως τῷ πρωτοπροέδρῳ Ἀνδρονίκῳ τὰ τοιαῦτα ἐδωρήθησαν κτήματα, ἀποκλείσασα πᾶσαν σεκρετικὴν συζήτησιν καὶ περίνοιαν τοῖς περὶ ταῦτα δεινοῖς. τὰ δὲ πάντα τούτων εἰς ἕκαστον προάστειον οὐ προσεγράφη, οὐκ ἐξ αἰτίας τοῦ ἠξιωμένου τῆς δωρεᾶς, οὐκ ἐκ περινοίας αὐτοῦ, ὡς ἂν μὴ διὰ τὸν ὄγκον τῆς ποσότητος ἀποναρκήσειε πρὸς τὴν δωρεὰν ἡ βασιλεία μου· ᾔδει γὰρ τὸ κράτος ἡμῶν ἀκριβωσάμενον πρότερον, εἴδησιν λαβὸν ἁπάντων σαφῆ ἅμα κατὰ κέλευσιν τῆς ἡμετέρας γαληνότητος, τὸ ἀζήτητον καὶ ἀνενόχλητον αὐτῷ προμηθευομένης· οὐδὲ γὰρ ἐξέσται τινὶ τῶν ἁπάντων, οὐκ αὐτοῖς τοῖς τῶν οἴκων τῶν εὐαγῶν, οὐχ ἑτέρῳ σεκρέτῳ ἢ τοῖς τῶν δημοσιακῶν πραγμάτων φροντίζουσιν, οἵτινες ἂν καὶ

εἶεν, ἐπί τινι τῶν τῷ παρόντι ἀναγεγραμμένων χρυσοβούλλῳ λόγῳ διαμφιβάλλειν καὶ λέγειν, ὡς τάδε μὲν τούτῳ ἐγέγραπτο, τάδε δὲ ἀποσεσιώπηται, καὶ ὡς τοῦτο μὲν ἔχει γενέσθαι, τοῦτο δὲ οὐδαμῶς, καὶ ὅτι τόδε μὲν τὸ προάστειον πρὸ τούτου ἢ μετὰ τοῦτο ἠδύνατο δέξασθαι αὔξησιν ἢ τυχὸν καὶ ἐδέξατο καὶ τόδε ὁμοίως· καὶ ὅτι πρὸς ἀντισήκωσιν ἦσαν προαστείων ἑτέρων, μὴ σωζόντων τὸ ἐπικείμενον αὐτοῖς πάκτον· ταῦτα γὰρ πάντα ἀνήρεσεν ἡ βασιλεία μου ἁπλῷ λόγῳ καὶ . . . καὶ ἀπεριέργῳ, καὶ δωρεῖται αὐτῷ τὰ δηλωθέντα πρὸς ὄνομα προάστεια μετὰ πάσης αὐτῶν τῆς ὁθενδήποτε προσόδου καὶ τῶν προνομίων ἁπάντων, εἰς διηνεκῆ καὶ ἀναφαίρετον δεσποτείαν, μετὰ παντὸς τοῦ μέρους αὐτοῦ καὶ τῶν ὅλων τούτου κληρονόμων καὶ διαδόχων καὶ παντοίων διακατόχων, ἀπ᾽ αὐτῆς ἀρχῆς τῆς ἑνδεκάτης ἰνδικτιῶνος καὶ ἐπὶ τὰ ἔμπροσθεν, ἕως περάτων τοῦ παρόντος αἰῶνος. πωλήσει γὰρ ταῦτα, ἀνταλλάξει, δωρήσεται, προικίσει καὶ εἰς οἰκείους καὶ ἐξωτερικοὺς παραπέμψει, καὶ τοιούτῳ τρόπῳ ἐπ᾽ αὐτοῖς χρήσεται ἐκποιήσεως, καὶ ὡς ἂν ἐθέλῃ διαπράξεται ἐπὶ τούτοις εἰς τὸ διηνεκές, κατὰ τελείας καὶ ἀναφαιρέτου δεσποτείας λόγον, καθὼς καὶ οἱ νόμοι ἐπὶ τοῖς ἰδίοις τοῖς καθαροῖς δεσπόταις διδόασιν ἄδειαν, οὔτε πάκτον, οὔτε συνηθείας οἱασδήτινος δόσιν ὑποστὰς τὸ σύνολον· ὁ γὰρ παρὼν χρυσόβουλλος λόγος τῆς βασιλείας μου οὐ μόνον τοὺς προειρημένους ἅπαντας λέγειν τι κατὰ τῆς παρούσης δωρεᾶς ἀπείργει παντάπασιν, ἀλλὰ καὶ αὐτῷ τῷ τὴν δωρεὰν ἀνειληφότι πᾶσαν ἐλευθερίαν συζητήσεως πάσης ἐπιβραβεύει καὶ δίδωσιν. ἐξκουσσευθήσονται γὰρ τὰ δηλωθέντα προάστεια καὶ οἱ ἐν αὐτοῖς προσκαθήμενοι πάροικοι ἀπό τε συνωνῆς, καπνικοῦ, μιτάτου, ἀπλήκτου, ἐπιθέσεως μονοπροσώπων νέων τε καὶ παλαιῶν, ἀγορᾶς μουλαρίων, μεσομουλαρίων, βορδωνίων, μεσοβορδωνίων, ἵππων, παριππίων, ὀνοκηλώνων, ὀνοθηλειῶν, φορβάδων, βοῶν ἐργατικῶν καὶ ἀγελαίων, χοίρων, προβάτων, αἰγῶν, βουβαλίων καὶ λοιπῶν τετραπόδων ζώων, ἐξοπλίσεως πλωΐμων ἢ κονταράτων ἢ τοξοτῶν ἢ ματζουκάτων ἢ ἑτέρων στρατιῶν, πλοίων κατασκευῆς, παροχῆς χρειῶν καὶ χορτασμάτων τῶν χορηγουμένων δικασταῖς καὶ πράκτορσιν ἢ πρέσβευσιν ἐθνῶν διερχομένοις, εἴτε καὶ στρατῷ τινι, ἐξωνήσεως σίτου, κριθῆς, βρόμου, ὀσπρίων καὶ παντοίων σπερμάτων, οἴνου, ἐλαίου, κρεῶν καὶ ἑτέρων εἰδῶν, κοπῆς καὶ καταβιβασμοῦ οἱασδήτινος ξυλῆς καὶ μετακομιδῆς ἑτέρου εἴδους, καθίσματος τῶν ἐν ὑπεροχαῖς ἀρχόντων, δουκῶν, κατεπάνων, στρατηγῶν, κριτῶν, ἐποπτῶν, ὀρθωτῶν, ἀναγραφέων καὶ λοιπῶν ἁπάντων ἀπαιτητῶν ἢ ἑτέρων τῶν δημοσιακῶν πραγμάτων ἔρευναν ἐπιτετραμμένων, δόσεως κανισκίων, ἀπληκτων ἢ μεσαπλήκτων, ἀπαιτήσεως μιτάτου Ῥωσοβαράγγων, Κουλπίγγων ἢ Φράγγων ἢ Σαρακηνῶν ἢ ἑτέρων ἐθνικῶν ἢ Ῥωμαίων, ἀπαιτήσεως ἀντικανισκίων, ἀποδοχῆς φοσσάτου καὶ διατροφῆς ἐπὶ πόλεμον ἀπιόντων ἢ ὑποστρεφόντων, μανδατόρων

τοῦ δρόμου πρέσβεις ἀγόντων ἢ ἐξορίστους, ἢ κατά τινα ἄλλην χρείαν διερχομένων, ἀρχόντων τε ἅμα καὶ προελευσιμαίων βασιλικῶν ἀνθρώπων ἐπί τινας ἀποστελλομένων δουλείας, ἐκβολῆς γεννημάτων ἐξ ἀγορασίας γεγενημένων, ἀγγαρίας, παραγγαρίας, ὁδοστρωσίας, γεφυρώσεως, ταξατίωνος, μιτζουκατίωνος καὶ λοιπῆς ἁπάσης ἐπηρείας λαληθείσης ἢ παρασιωπηθείσης, νῦν τε οὔσης καὶ ὕστερον ἐπινοηθησομένης, ἀλλὰ μηδὲ ἅρματα πεμπόμενα εἴς ἄκρας τινὰς πρὸς κάστρα ἐν τοῖς δηλωθεῖσι κτήμασιν ἀποτεθῆναι καὶ φυλάττεσθαι ἢ σῖτον αὐτοῖς ἐπιρίπτεσθαι πρὸς τὸ ἀλήθεσθαι καὶ ἄρτους γίγνεσθαι ἢ παραμονὰς ἐκεῖθεν ἀφαιρεῖσθαι, βασιλικῆς ἕνεκεν ὑπηρεσίας, ἢ ἄρχοντας τινὰς ἐξορίστους ἐν αὐτοῖς πέμπεσθαι κἀκεῖθεν διατρέφεσθαι, ἢ ἄλλην τὴν οἱανδήτινα ζημίαν ἢ κάκωσιν παρά τινος τὰ τοιαῦτα κτήματα καὶ τοὺς ἐν αὐτοῖς προσκαθημένους παροίκους τε καὶ λοιποὺς ὑφίστασθαι. διὸ παρεγγυώμεθα καὶ πάντας ἐξασφαλιζόμεθα ἀπό τε τῶν κατὰ καιροὺς σακελλαρίων καὶ λοιπῶν, τοῦ μηδένα τῶν ἁπάντων ἐν οἱῳδήποτε χρόνῳ καθ' οἱονδήτινα τρόπον ἐπ' ἀδείας ἔχειν ἀθετεῖν ἢ ἀνατρέπειν μερικῶς ἢ καθόλου τὴν παροῦσαν τῆς βασιλείας μου δωρεὰν καὶ πρόσταξιν, ὡς βεβαίου καὶ ἀσφαλοῦς ὑπάρχοντος τοῦ παρόντος ἡμῶν εὐσεβοῦς χρυσοβούλλου λόγου, γεγενημένου κατὰ [τὸν] φεβρουάριον μῆνα τῆς ἑνδεκάτης ἰνδικτιῶνος, ἐν ἔτει τῷ ἑξακισχιλιοστῷ πεντακοσιοστῷ ὀγδοηκοστῷ πρώτῳ, ἐν ᾧ καὶ τὸ ἡμέτερον εὐσεβὲς καὶ θεοπρόβλητον ὑπεσημήνατο κράτος. †

Εἶχε καὶ ὑπογραφὴν δι' ἐρυθρῶν γραμμάτων τοῦ κραταιοῦ καὶ ἁγίου ἡμῶν βασιλέως· † Μιχαήλ, ἐν Χριστῷ τῷ θεῷ πιστὸς βασιλεὺς καὶ αὐτοκράτωρ Ῥωμαίων ὁ Δούκας. † εἶχε δὲ καὶ βούλλαν ἀπῃωρημένην κάτωθεν χρυσῆν.

*Exemplar. In catalogo, quem Ierotheus P. Florides edidit in periodico inscripto* Πανδώρα *vol. XIX et XX sub titulo:* Ἀπογραφὴ καὶ ἀπαρίθμησις τῶν ἐν τῷ ἀρχείῳ τῆς σεβασμίας βασιλικῆς καὶ αὐτοκρατορικῆς μονῆς Ἰωάννου τοῦ Θεολόγου τῆς ἐν Πάτμῳ διατηρουμένων βασιλικῶν χρυσοβούλλων . . . καὶ ἄλλων διαφόρων ἐγγράφων, *cum tabula adducta sub numero 51. a. Charta auersa scripti sunt duo catalogi, de quibus Florides haec habet:* ὄπισθεν . . . εὕρηνται δύο κατάλογοι, ὧν ὁ μὲν εἷς περιλαμβάνων τὰς ἱερὰς εἰκόνας, τὰ ἅγια λείψανα, τὰ ἀναγινωσκόμενα ἐν τῷ μέσῳ τῆς ἐκκλησίας βιβλία, τὰ χρυσᾶ καὶ ἀργυρᾶ σκεύη, τὰ χρυσόβουλλα, ἅτινα τῷ τότε ἦσαν δέκα καὶ ὀκτὼ παλαιὰ καὶ νέα, σώζοντα καὶ τὰς χρυσᾶς σφραγῖδας αὐτῶν, γέγονε κατὰ τὸν μῆνα ἰούλιον τῆς πέμπτης ἐπινεμήσεως παρὰ τοῦ καθηγουμένου τῆς μονῆς, εὐτελοῦς μοναχοῦ Γερμανοῦ καὶ παρεδόθη τῷ ἐκκλησιάρχῃ μοναχῷ κυρῷ Καισαρίῳ παρόντων καὶ

ἐκκλησιαστικῶν καὶ ἱερέων. ὁ δὲ ἕτερος περιλαμβάνων τὰ βιβλία τῆς μονῆς (τὰ μὴ ἀναγινωσκόμενα ἴσως ἐν τῇ ἐκκλησίᾳ) γέγονεν ἐπὶ τῆς ἡγουμενείας τοῦ ἱερομάχου κυρίου Γρηγορίου ἐν ἔτει ͵ςωϞ´ *(1882.)*

## II. 6581—1073, mense martio, ind. XI.

***Adam, notarius patriarchalis et domesticus tribunalis sacrarum aedium Orientis, et patricius magnus oeconomus Matzuces in catalogum referunt et tradunt Andronico Ducae praedia ei donata ab imperatore Michaële VII. Duca Parapinace in regione Alopecarum sita.***

### Πρακτικόν.

† Κατὰ τὸν μάρτιον μῆνα τῆς παρούσης ἑνδεκάτης ἰνδικτιῶνος τοῦ ἑξακισχιλιοστοῦ πεντακοσιοστοῦ ὀγδοηκοστοῦ πρώτου ἔτους ἔνταλμα ἐδόθη ἡμῖν Ἀδάμ, πατριαρχικῷ νοταρίῳ καὶ δομεστικῷ τοῦ σεκρέτου τοῦ οἰκονόμου τῶν εὐαγῶν οἴκων τῆς Ἀνατολῆς, τοῦ περιβλέπτου πατρικίου καὶ μεγάλου οἰκονόμου τῶν εὐαγῶν οἴκων, τοῦ Ματζούκη, περιέχον αὐταῖς λέξεσιν οὕτως· «ἐπεὶ καὶ ἑτέραν πρόσταξιν ἐδεξάμεθα τοῦ κραταιοῦ καὶ ἁγίου ἡμῶν βασιλέως, διορίζουσαν ἡμῖν οὕτως·

«Ἡ βασιλεία μου ἐποίησε χρυσόβουλλον λόγον τῷ πρωτοπροέδρῳ κυρῷ Ἀνδρονίκῳ, πρωτοβεστιαρίῳ καὶ μεγάλῳ δομεστίκῳ ἐπὶ τοῖς ἀποσπασθεῖσι προαστείοις ἀπὸ τῆς ἐπισκέψεως τῶν Ἀλωπεκῶν, τοῖς ὑπὸ τὸ [ὑπὸ σὲ] σέκρετον τελοῦσι καὶ δωρηθεῖσιν αὐτῷ παρὰ τοῦ κράτους ἡμῶν κατὰ τελείας καὶ ἀναφαιρέτου δεσποτείας τρόπον, ἀποχαρισαμένη τούτῳ καὶ πάσας τὰς εἰσόδους τῶν τοιούτων προαστείων, ἀπ' αὐτῆς ἀρχῆς τῆς παρούσης ἑνδεκάτης ἰνδικτιῶνος καὶ εἰς τὸ ἑξῆς, καὶ κελεύει σοι εἰσελθεῖν αὐτὸν καὶ καταστρῶσαι ἐν τοῖς ὑπὸ σὲ σεκρετικοῖς χαρτίοις· κατὰ τόπον δοῦναι αὐτῷ καὶ εἴ τι ἴσως ἔφθασας ἀπὸ τῶν εἰρημένων κτημάτων εἰσοδιάσαι ἀπὸ τῆς παρούσης, ὡς εἴρηται, ἑνδεκάτης ἰνδικτιῶνος, ἀποστεῖλαί τέ τινα τῶν ὑπὸ σὲ σεκρετικῶν, ὡς ἂν ποιήσῃ τὴν παράδοσιν τούτων πρὸς τὸ μέρος τοῦ πρωτοπροέδρου καὶ πρωτοβεστιαρίου, ποιῆσαι δὲ καὶ ἴσον τοῦ παρόντος πιττακίου καὶ ὑπογράψαι ἐν αὐτῷ μετὰ καὶ τῶν ὑπὸ σὲ σεκρετικῶν, καὶ δοῦναι τῷ πρωτοπροέδρῳ εἰς ἀσφάλειαν. μηνὶ φεβρουαρίῳ, ἰνδικτιῶνος ἑνδεκάτης.»

«Οὕτω τῆς βασιλικῆς καὶ θείας διοριζούσης προστάξεως, ἐπεὶ ἀπεστάλης σύ, ὃς ἐνεργεῖς ποιῆσαι τὴν παράδοσιν τῆς ἐπισκέψεως Μιλήτου, τῆς πρὸ ὀλίγου δωρηθείσης παρὰ τοῦ κραταιοῦ καὶ ἁγίου ἡμῶν βασιλέως τῷ αὐτῷ πρωτοπροέδρῳ,

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ ΤΟΜΕΑΣ ΦΙΛΟΣΟΦΙΑΣ ΕΡΓΑΣΤΗΡΙΟ ΕΡΕΥΝΩΝ ΝΕΟΕΛΛΗΝΙΚΗΣ ΦΙΛΟΣΟΦΙΑΣ ΔΙΕΥΘΥΝΤΗΣ: ΕΠ. ΚΑΘΗΓΗΤΗΣ ΚΩΝΣΤΑΝΤΙΝΟΣ Θ. ΠΕΤΣΙΟΣ
ΙΩΑΝΝΙΝΑ 2006

πρωτοβεστιαρίῳ καὶ μεγάλῳ δομεστίκῳ, κυρῷ Ἀνδρονίκῳ τῷ Δούκᾳ, δέον σε ἀπελθεῖν καὶ παραδοῦναι καὶ τὸ οἰκοπροάστειον τὴν Βάριν σὺν τοῖς λοιποῖς προαστείοις τοῖς παρεκβληθεῖσιν ἀπὸ τῆς τῶν Ἀλωπεκῶν ἐπισκέψεως παρὰ τοῦ λογαριάζοντος ταύτας, ἐν καταστίχῳ παρ' αὐτοῦ ὑπογεγραμμένῳ, ὃ καὶ συνεβουλλώθη τῷ παρόντι ἐντάλματι καὶ ἐδόθη σοι. δέον σε παραγενόμενον ἐκεῖσε ἀναλαβέσθαι τὸ πρακτικὸν ἀπὸ Νικήτα, ἱερέως καὶ πρωτοκουράτορος τῆς τοιαύτης ἐπισκέψεως, ὅπερ ἐστὶν ἰσότυπον μὲν κατὰ πάντα τῷ πρωτοτύπῳ, ὑπογεγραμμένον δὲ καὶ ἐσφραγισμένον παρ' ἡμῶν καὶ ποιήσασθαι τὴν παράδοσιν κατ' αὐτὸ τῶν ἐν καταστίχῳ παρεκβληθέντων προαστείων, ὅπερ τῷ ἐντάλματί σου συνεβουλλώθη, καὶ τῶν ἐν αὐτῷ πάντων παροίκων, σπόρων, ζευγαρίων, γεηπονικῶν ἐργαλείων, κουφοτελῶν αὐτουργίων καὶ λοιπῆς ἁπάσης ἐνθήκης, ζώων, ἀνδρῶν τε καὶ λοιπῶν, ἄνευ τῶν φορβάδων, πρὸς τὸ μέρος τοῦ αὐθέντου ἡμῶν τοῦ πανυπερλάμπρου πρωτοπροέδρου, πρωτοβεστιαρίου καὶ μεγάλου δομεστίκου, τοῦ περιποθήτου ἐξαδέλφου τοῦ κραταιοῦ καὶ ἁγίου ἡμῶν βασιλέως. δέον σε παραδοῦναι καὶ πάντα τὰ ἀκίνητα δίκαια τῶν τοιούτων προαστείων, ὡς ἂν ἀκαινοτόμητα δεσπόζωνται παρὰ τοῦ αὐθέντου ἡμῶν, τοῦ πρωτοπροέδρου κυροῦ Ἀνδρονίκου, καθὼς καὶ παρὰ τοῦ δημοσίου ἐδεσπόζοντο, ἀπ' αὐτῆς ἀρχῆς τῆς παρούσης ἑνδεκάτης ἰνδικτιῶνος, ποίησον δὲ καὶ ἔρευναν περὶ τῆς προσόδου τῆς τοιαύτης ἐγχρονίας, καὶ εἴ τι ἂν εὑρήσῃς, ἀπαιτηθὲν παρὰ τοῦ πρωτοκουράτορος, ἀντίστρεψον ταῦτα, κατὰ τὴν περίληψιν τῆς προστάξεως τοῦ κρατίστου ἡμῶν βασιλέως, πρὸς τὸ μέρος τοῦ πρωτοπροέδρου καὶ πρωτοβεστιαρίου. δέον σε πρακτικὰ ἐκθέσθαι δύο τῆς παραδόσεως, καὶ τὸ μὲν ἓν πρὸς τὸ σέκρετον ἀποκομίσαι, ὑπογεγραμμένον καὶ βεβουλλωμένον, τὸ δ' ἕτερον ὡσαύτως ἐπιδοῦναι πρὸς τὸ μέρος τοῦ μεγάλου δομεστίκου. ἐπὶ τούτῳ γὰρ καὶ τὸ παρὸν ἔνταλμα συνήθως πιστωθὲν ἐπεδόθη σοι, μηνὶ καὶ ἰνδικτιῶνι τοῖς προγεγραμμένοις.»

Οὕτω τοῦ ἐντάλματος διαλαμβάνοντος ἐποίησα τὴν παράδοσιν οὕτως· Οἰκοπροάστειον ἡ Βάρις τοῦ Βαρσακουτινοῦ. ἐκκλησία ἐγχώρηγος, τρουλλωτή, βασταζομένη ὑπὸ κιόνων ὀκτώ, μετὰ καὶ τῶν καταγύρων αὐτῆς σώων, μετὰ καὶ τοῦ νάρθηκος καὶ τῶν κατηχουμένων, μαρμαρόπατος, ἔχουσα σταυροὺς χαλκοῦς τρεῖς· εἰκὼν ἡ σταύρωσις, καμαρωτή, διὰ χρυσῶν πετάλων· ἕτεραι εἰκόνες διὰ χρυσῶν πετάλων μικραὶ ἑπτά· ἕτεραι εἰκόνες μεγάλαι διὰ χρυσῶν πετάλων πέντε· δισκοπότηρον χαλκοῦν ἕν· πολυκάνδηλα χυτὰ μετὰ κηροπηγίων ἀπὸ ἕνδεκα, ὀκτώ· ἕτερα πολυκάνδηλα λαδικινὰ ἀπὸ δέκα, ἑπτά· στεφανίτας σιδηροῦς ἀπὸ ἕνδεκα, ὀκτώ· ἀβίναι μικραὶ χυταὶ ἀπὸ ὀκτώ, πέντε· μανουάλια σιδηρᾶ δύο, τὸ ἓν τεθλασμένον· ἕτερα μανουάλια τῆς εἰσόδου μικρὰ δύο· μιλιάρια

στρογγυλοθολωτὰ δύο· βηλόθυρον μικρὸν παλαιὸν ἕν· ἐνδυταὶ λιναῖ παλαιαὶ δύο· Διὰ τῶν βιβλίων· εὐαγγέλιον λιτὸν μικρὸν παλαιὸν ἕν· τετραευάγγελον λιτὸν παλαιὸν ἕν· ὀκτώηχος μονοκρ . . . προφῆται μονοκρ . . παλαιόν· ἀπόστολος λιτὸς ἕν· τριώδιον μονοκρ . . ἕν. Διὰ τῶν οἰκημάτων. σταυροτρίκλινον ἐγχώρηγγον, τρουλλωτόν, μετὰ κουβουκλείων τεσσάρων, βασταζομένη ὑπὸ κιόνων τεσσάρων ἡ τρούλλα, ἔχον ἡλιακὸν γύρωθεν ἄσκεπον καὶ ἄνευ πάτου, μαρμαρόπατα ἀμφότερα καὶ ἀθύρωτα· λουτρὸν ἐγχώρηγγον, ἀκεράμωτον, ἔχον μερικάς τινας ὀρθομαρμαρώσεις, τὸ δὲ τηγάνιν αὐτοῦ ἐστιν εἰς τὸν οἶκον τῶν Ἀλωπεκῶν, καὶ ὀφείλει δοθῆναι· τὰ δὲ πλησίον τοῦ οἴκου οἰκήματα εὑρέθησαν καταλελυμένα. ὀσπήτιον τὸ ζευγηλατεῖον, μακρωνάριον, ἐγχώρηγγον, κεραμόσκεπον, ἀθύρωτον. ἀμπελοκήπιον ἐξηλειμμένων, τὸ λεγόμενον Φιλοπότιον. ἕτερον περιβόλαιον Ὀλύνθινον, ἔχον δένδρα κάρπιμα, ἄνευ φραγμοῦ. περιβόλαιον τὸ πλησίον τοῦ οἴκου, τὸ εὑρεθὲν νῦν λιβάδιον, ἐν ᾧ ἵστανται συκέαι δύο καὶ ἀπιδέα μία. ἕτερον περιβόλαιον ἔχον ἐλαίας, τὸ λεγόμενον Φιλοπότιον. κῆπος ὁ λεγόμενος τοῦ Παξιμάδη, εὑρεθὲν τὰ νῦν χωράφιον. ἕτερον περιβόλαιον σὺν τῷ χωραφίῳ τῷ Ἀριβάλη, δρυμῶν τοῦ προαστείου Ὀλύνθου. λιβάδιον τοῦ οἴκου, ὡσεὶ μοδίων τεσσαράκοντα. κατασπορὰ ἡ εὑρεθεῖσα ἐν τῷ τοιούτῳ οἴκῳ, σίτου μόδιοι διακόσιοι ἑξήκοντα, κριθῆς μόδιοι ἑκατὸν πεντήκοντα, φάβα μόδιοι πέντε, λινοκόκκου μόδιοι πέντε, καὶ ἀνόναν ἀπὸ τῆς παραθέσεως σίτου μόδιοι ἑκατὸν εἰκοσιτέσσαρες, κριθῆς μόδιοι ἑξήκοντα, λινοκόκκου μόδιοι ὀκτώ. ζευγάρια τὰ εὑρεθέντα καὶ παραδοθέντα βουβαλικὰ δύο, καὶ βοϊκὸν ζευγάριον ἕν· ζυγάροτρα μετὰ τῶν ἐξοπλίσεων αὐτῶν δύο,. μόδιος χαλκοῦς σιδηρόδετος εἷς. Διὰ τῶν δούλων. οὐδείς, διὰ τὸ ἀποθανεῖν τούτους. Εἴσοδος τοῦ αὐτοῦ οἴκου λογαρικὴ καὶ τῶν λοιπῶν προσόδων. ἀπὸ ἐννομίου τοῦ ὄρους τοῦ ἁγίου Ἡλίου καὶ τῶν χωρoσταυλίων, ἤτοι φθινοπωρικοῦ νομίσματα β΄. ἀπὸ ἐννομίου τοῦ δάσους τοῦ Ὀλύνθου ἀπὸ νομισμάτων . . . δεκατέσσαρα, διὰ τὸ γενέσθαι τὸ δάσος χωράφιον, ἀπὸ χλοαστηρίων βοϊδίων νομίσματα πέντε. ἔτι ἀπὸ ἐπιτελεσμοῦ τοῦ χωρίου Ὀλύνθου νομίσματα δύο. ἀπὸ βαλανιστηρίου τοῦ ὄρους νομίσματα δύο. ἀπὸ ἐπιτελεσμοῦ τοῦ χωρίου Βερβίλου τοῦ Παντίζη νόμισμα ἕν. ἀπὸ τῶν ἐλαιῶν νομίσματα δώδεκα. ἀπὸ ἐπιτελεσμοῦ τοῦ προαστείου τῆς Ἐλευνίκης νόμισμα ἓν ἥμισυ. ἀπὸ ἐπιτελεσμοῦ τοῦ προαστείου τοῦ Ἀρουβάλη νόμισμα ἓν ἥμισυ. τῶν Ναμάτων τῆς μονῆς ὑπὲρ τῶν χωραφίων τῶν ἐννενήκοντα πέντε ἥμισυ μοδίων, νομίσματα τέσσαρα, ὡς τῆς τοιαύτης γῆς ἐκδοθείσης μετὰ τῆς ὅλης γῆς τοῦ αὐτοῦ οἴκου, καὶ ὀφείλει χωροπακτίζεσθαι ἐπὶ τῶν δέκα μοδίων τὸ νόμισμα, νομίσματα ἐννέα ἥμισυ, ὡς τὸ πρακτικὸν δηλοῖ. ἀπὸ τοῦ ξενοδοχείου, ἀπὸ νομισμάτων ἕξ, οὐδέν. ἀπὸ ἐπιτελεσμοῦ τοῦ Θεοδότου

νόμισμα ἕν. ἀπὸ περιβολαίου τῆς ἐκκλησίας νόμισμα ἕν. ἀπὸ περιβολαίου τοῦ Φιλοκοτίου νόμισμα ἕν. ἀπὸ περιβολαίου τῆς Ὀλύνθου νόμισμα ἕν. ἀπὸ πάκτου προαστείων τῶν Μετανίων νομίσματα ἑκατὸν τριάκοντα ἑπτὰ ἥμισυ. καὶ ἀπὸ χωροπάκτου τῶν χωραφίων τῆς Μανδράκλου νομίσματα δεκατέσσαρα, ἀπὸ χωροπάκτου τοῦ νέου παροίκου Ἰωάννου Διαξινοῦ τοῦ Θεολογίτου, ὑπὲρ τῶν διακοσίων τριάκοντα μοδίων τῆς γῆς τῆς τυπωθείσης αὐτῷ, ἀπὸ νομισμάτων εἰκοσιτεσσάρων, οὐδέν, διὰ τὸ τὸν τοιοῦτον μεταναστεῦσαι καὶ τὴν τοιαύτην γῆν συμπαραληφθῆναι μετὰ καὶ τῆς λοιπῆς γῆς εἰς τὸν περιορισμόν. ἀπὸ ἐννομίου τῆς Ἀχλάδας ἀπὸ νομισμάτων ἑπτά, οὐδέν, διὰ τὸ γενέσθαι τὴν νομὴν ταύτης χωράριον. ἀπὸ πάκτου περιβολαίου τοῦ προαστείου Πρίνης, τοῦ ἀπὸ τῆς Μανδράκλου σὺν τοῦ σπόρου καὶ τῶν ἐλαιῶν, νομίσματα δέκα. ἀπὸ χωροπάκτου τῆς εὑρεθείσης κατὰ περίσσειαν γῆς ὑπέργου ὑπὲρ μοδίων πεντακοσίων, τὸ νόμισμα μόδιοι δέκα, νομίσματα πεντήκοντα. **Εἴσοδος λογαρικὴ τῆς Βάρεως τῆς Ὀλύνθου, τοῦ Γάμματος καὶ τῶν λοιπῶν·** ἀπὸ νομισμάτων πεντήκοντα ἑπτὰ ἥμισυ, νομίσματα τριάκοντα ἑπτά. **Διὰ τῶν παροίκων τοῦ οἰκοπροαστείου τῆς Βάρεως.** Θεόδουλος ἀντὶ Εἰρήνης χήρας, ἔχει γυναῖκα Μαρίαν, θυγατέρα Ἄνναν, ἀκτήμων, νόμισμα ἥμισυ. Γεώργιος ὁ Τσικός, ἔχει γυναῖκα Ἄνναν, υἱὸν Ἰωάννην, ἀπὸ βοϊδάτου, ἀκτήμων, νόμισμα ἓν ἥμισυ. Βάρδας ὁ υἱὸς Γεωργίου Μειζοτέρου, ἔχει γυναῖκα Εἰρήνην, ἀκτήμων, νόμισμα ἥμισυ. Κυριακὸς ὁ υἱὸς Θεοφανοῦς χήρας, ἀκτήμων, νόμισμα ἥμισυ. Μόσχος τῆς Μαρουλάδενας, ἔχει γυναῖκα Μαρίαν, ἀκτήμων, καπνικὸν νόμισμα ἥμισυ. Θεοχαριστίνη χήρα, ἔχει υἱὸν Νικηφόρον, καπνικὸν νόμισμα ἥμισυ. Γεώργιος ὁ Ἀρκούδης, ἔχει γυναῖκα Μαρίαν, ἀκτήμων, καπνικὸν νόμισμα ἥμισυ. Ἰωάννης ὁ Μαρμαρᾶς, ἔχει θυγατέρα Ἄνναν, καπνικὸν νόμισμα ἥμισυ. Ἄννα χήρα τοῦ Χασάνη, ἔχει θυγατέρα Μαρίαν, γαμβρὸν Λέοντα, ζευγάριον ἕν, φορβάδα μίαν, νομίσματα γ΄. Μιχαὴλ Χηνάριος, ἔχει γυναῖκα Ἄνναν, ζευγάριον ἕν, ἀργὰ τρία, φορβάδα μίαν, ὄνον ἕνα, χοίρους ιδ΄, νομίσματα τρία, μιλιαρίσια δέκα. Καλλα ἡ γυνὴ Κωνσταντίνου Καλλᾶ, ἀκτήμων, καπνικὸν νόμισμα ἥμισυ. Θεοφανὼ χήρα ἡ Σπαναγούδενα, ἔχει θυγατέρα Μαρίαν, καπνικὸν νόμισμα ἥμισυ. Κυριακὸς ὁ Ψαλίδης, ἔχει γυναῖκα Θεοπέμπτην, καπνικὸν νόμισμα ἥμισυ. ὁμοῦ πάροικοι ζευγάρατοι δύο, ἀκτήμονες ιβ΄, τελοῦντες, καθὼς ἄνωθεν ὁ ἑκάστου στίχος δηλοῖ, νομίσματα ιγ΄, μιλιαρίσια ὀκτώ, ζευγαρατίκιον μιλιαρίσια δύο, φόλεις ιβ΄. **Προάστειον τοῦ Ὀλύνθου. Διὰ τῶν παροίκων τοῦ αὐτοῦ προαστείου.** Μαρία, ἡ γυνὴ Ἰωάννου τοῦ Σαπουνᾶ, ἔχει υἱὸν Μιχαήλ, ζευγάριον ἕν, νομίσματα γ΄, μιλιαρίσια τρία, φόλεις ιβ΄. Γεώργιος ὁ υἱὸς αὐτοῦ, ἔχει γυναῖκα Εἰρήνην, θυγατέρα Μαρίαν, ζευγάριον ἕν, . . . . . Μαρία χήρα ἡ Ζωμήδενα, ἔχει υἱὸν Μιχαήλ,

ΕΡΓΑΣΤΗΡΙΟ ΕΡΕΥΝΩΝ ΙΣΤΟΡΙΑΣ ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ ΤΟΜΕΑΣ ΝΕΟΕΛΛΗΝΙΚΗΣ ΦΙΛΟΣΟΦΙΑΣ ΜΕΤΑΠΤΥΧΙΑΚΟ ΠΡΟΓΡΑΜΜΑ ΕΠΙ ΚΑΘΗΓΗΤΗΣ ΚΩΝΣΤΑΝΤΙΝΟΣ Θ. ΠΕΤΣΙΟΣ
Επ. Δίτησκ. ΙΩΑΝΝΙΝΑ 2006

ἀκτήμων, καπνικὸν νόμισμα ἥμισυ. Ἰωάννης ὁ υἱὸς Βασιλείου τοῦ δροφύλακος, ἔχει υἱὸν Κυριακόν, ἀπὸ βοϊδίου ἑνός, χοίρων β', ἀκτήμων, καπνικὸν νόμισμα ἥμισυ. Κυριακὸς ὁ δροφύλαξ, ἔχει γυναῖκα Εἰρήνην, υἱὸν Γεώργιον, βοΐδιον ἕν, καπνικὸν νόμισμα ἥμισυ. Γεώργιος τοῦ δροφύλακος, ἀκτήμων, καπνικὸν νόμισμα ἥμισυ. Νικόλαος τοῦ Σαμωνᾶ, ἔχει γυναῖκα Ἐλισάβετ, βοΐδιον ἕν, νόμισμα ἥμισυ. Στρατηγὸς πρεσβύτερος, ἔχει γυναῖκα Εἰρήνην, υἱὸν Μόσχον, βοΐδιον ἕν, καπνικὸν νόμισμα ἥμισυ. Κωνσταντῖνος ὁ Σελιβίρης, ἀκτήμων, καπνικὸν νόμισμα ἥμισυ. Γεώργιος ὁ Φαντερινός, ἔχει γυναῖκα Ἄνναν, βοΐδιον ἕν, νόμισμα ἥμισυ. ὁμοῦ πάροικοι ζευγαράτοι δύο, βοϊδατικοὶ δ', καὶ ἀκτήμονες τέσσαρες, τελοῦντες, καθὼς ἄνωθεν ἑνὸς ἑκάστου ὁ στίχος δηλοῖ, ἤτοι νομίσματα ὀκτὼ ἥμισυ, μιλιαρίσια τρία, φόλεις δώδεκα, ζευγαρατίκιον μιλιαρίσια δώδεκα, φόλεις ιβ'.

**Προάστειον τὸ Γάμμα. Διὰ τῶν παροίκων.** Στρατηγῷ χήρα, ἔχει υἱὸν Γεώργιον, θυγατέρα Ἄνναν, ζευγάριον ἕν, νομίσματα γ', μιλιαρίσια δ'. Ἑλένη χήρα τοῦ Γωνιάτου, ἔχει υἱὸν Ἰωάννην, ἀκτήμων, νόμισμα ἥμισυ. Καλὴ τοῦ Φωτεινοῦ, ἔχει νύμφην Ἄνναν, ἔγγονον Ἰωάννην, ζευγάριον ἕν, ἀργὰ γ', μουλάριον ἕν, χοίρους δέκα, νομίσματα δ', μιλιαρίσιον ἕν. Εἰρήνη χήρα ἡ Καραμαλλίνα, ἔχει υἱὸν Μιχαήλ, βοΐδιον ἕν, καπνικὸν νόμισμα ἥμισυ. Ἄννα χήρα, ἀκτήμων, νόμισμα ἥμισυ. Γεώργιος ὁ υἱὸς Εἰρήνης χήρας τῆς Κατσαραδίνας, ἔχει γυναῖκα Εἰρήνην, ἀκτήμων, καπνικὸν νόμισμα ἥμισυ. Στέφανος ὁ Πτελαΐτης, ἔχει γυναῖκα Ἀδ[ριανήν], καπνικὸν νόμισμα ἥμισυ. ὁμοῦ πάροικοι ζευγαράτοι δύο, βοϊδάτοι α', καὶ ἀκτήμονες δ', τελοῦντες, καθὼς ἄνωθεν ἑκάστου ὁ στίχος δηλοῖ, νομίσματα θ' ἥμισυ, μιλιαρίσια ε', ζευγαρατίκιον μιλιαρίσια ε'.

**Προάστειον τὸ Βερβουλίδιον. Διὰ τῶν παροίκων.** Ἰωάννης ὁ Σκρίνος, ἔχει γυναῖκα Ἄνναν, υἱοὺς Λέοντα καὶ Βασίλειον, ζευγάριον ἕν, ἀργὰ β', φορβάδα μίαν, μουλάριον ἕν, χοίρους δέκα, νομίσματα γ', μιλιαρίσια β'. Ἄννα ἡ Τζαμίνενα, ζευγάριον ἕν, νομίσματα γ', μιλιαρίσια δ'. Ἰωάννης ὁ Τζάμης, ἔχει γυναῖκα Ἄνναν, βοϊδάτος, νόμισμα ἥμισυ. Ἀγαπητὸς τοῦ Γραμματικοῦ, ἔχει γυναῖκα Εἰρήνην, ἀκτήμων, καπνικὸν νόμισμα ἥμισυ. Κωνσταντῖνος ὁ Καλη . . ., ἔχει γυναῖκα Μαρίαν, ἀκτήμων, καπνικὸν νόμισμα ἥμισυ. ὁμοῦ πάροικοι ζευγαράτοι δύο, βοϊδάτος α', καὶ ἀκτήμονες δύο, τελοῦντες, καθὼς ἄνωθεν ἑκάστου ὁ στίχος δηλοῖ, νομίσματα ζ' ἥμισυ, μιλιαρίσια ϛ'.

**Προάστειον αἱ Γαλαΐδαι σὺν τοῦ τόπου τῆς Λάδης. Διὰ τῶν παροίκων.** Γεώργιος ὁ Φωστήρης, ἔχει γυναῖκα Ἀγάθην, ζευγαράτος, νομίσματα γ'. Κωνσταντῖνος ὁ γαμβρὸς αὐτοῦ, ἔχει γυναῖκα Εἰρήνην, ζευγάριον ἕν, νομίσματα β' ἥμισυ. Ἰωάννης ὁ Ἀγουρίτζης, ἔχει γυναῖκα Ἄνναν, υἱὸν Κωνσταντῖνον,

ζευγάριον ἕν, χοίρους γ', νομίσματα γ', μιλιαρίσιον ἕν. Πέτρος Τουρκός, ἔχει γυναῖκα Καλήν, υἱὸν Ἰωάννην, ζευγάριον ἕν, νομίσματα β' ἥμισυ. Γεώργιος ὁ Σιδερᾶς, ἔχει υἱοὺς Λέοντα καὶ Ἰωάννην, ζευγάριον ἕν, νομίσματα γ'. Ἰωάννης πρεσβύτερος τοῦ Πεζούλη, ζευγάριον ἕν, νομίσματα β' ἥμισυ . . . . . . . ., ἔχει γυναῖκα Εἰρήνην, υἱὸν Βασίλειον, ζευγάριον ἕν, φορβάδα μίαν, νομίσματα γ', φόλεις ιβ'. Λέων ὁ ἀδελφὸς τοῦ Σιδερᾶ, ἔχει γυναῖκα Εἰρήνην, ζευγαράτος, νομίσματα γ'. Γεώργιος ὁ Μαυρογεώργης, ἔχει γυναῖκα Θηριανήν, υἱοὺς Λέοντα καὶ Γεώργιον, ζευγάριον ἕν, ἀργὰ δύο, νομίσματα γ', μιλιαρίσιον ἕν. Γεώργιος τῆς Χαροκοπίνας, ἀκτήμων, νόμισμα ἥμισυ. Σοφία τοῦ Νικηφόρου, ἀκτήμων, νόμισμα ἥμισυ. Μιχαὴλ τῆς Ἀσπίδενας, ἀκτήμων, νόμισμα ἥμισυ. ὁμοῦ πάροικοι ζευγαράτοι θ', καὶ ἀκτήμονες γ', τελοῦντες, καθὼς ἄνωθεν ἑκάστου ὁ στίχος δηλοῖ, νομίσματα κζ', μιλιαρίσια δύο, φόλεις ιβ'.

Ἔστι δὲ ὁ περιορισμὸς τοῦ τοιούτου προαστείου, ἤγουν τοῦ οἰκοπροαστείου τῆς Βάρεως· ἄρχεται ἀπὸ τῆς δημοσίας ὁδοῦ τῆς ἐρχομένης ἀπὸ τοῦ Πτελάκου τοῦ ἀκρωρείου βουνοῦ, ἐν ᾧ ἵσταται ὅρος λίθινος, περικόπτει μικρὸν τὸ χωράφιον τῆς Πρωτοσπαθαραίας καὶ τὸν ἕτερον δρόμον, κρατεῖ κατ' εὐθεῖαν τὸν διώρυγα πρὸς βορρᾶν, κατέρχεται τοὺς ἱσταμένους ὅρους μέχρι τῆς ὁρίας τῆς ἱσταμένης εἰς τὰ σύνορα τῆς Βαρβάρας τοῦ Πέτρου, σωκάρια κθ', ὀργυιαὶ γ'. διέρχεται τὰ μὲν πρὸς δύσιν, τὰ δὲ τῆς Πρωτοσπαθαραίας, τὰ δὲ πρὸς ἀνατολὰς οἴκου τῆς Βάρεως, κάμπτει πρὸς ἀνατολὰς καὶ ἀπέρχεται μέχρι τοῦ παλαιοῦ τράφου, σωκάρια ζ', ὀργ. β'.· εἶτα πάλιν ἀνέρχεται πρὸς ἀνατολὰς καὶ ἀπέρχεται μέχρι τῆς μιᾶς στράτας τῆς κατερχομένης ἐπὶ τὸ χωρίον Βαρβάρα, σωκάρια κς'. διέρχεται τὰ μὲν πρὸς νότον τὰ δίκαια τοῦ περιοριζομένου τόπου, τὰ δὲ πρὸς βορρᾶν τὰ δίκαια τοῦ προαστείου Βαρβάρας· εἶθ' οὕτω κάμπτει πρὸς βορρᾶν, κρατεῖ τὸν αὐτὸν μέγαν τράφον, κατέρχεται μέχρι τοῦ νεροτράφου, ἔνθα καὶ ὅρος γέγονε, σωκάρια κβ' ὀργ. ε'. εἶτα πάλιν κρατεῖ κατ' εὐθεῖαν, περικόπτει τὸν αὐτὸν τράφον, ἔρχεται πλησίον τοῦ βήματος τοῦ ναοῦ τῆς ὑπεραγίας θεοτόκου τοῦ προαστείου Βάρεως, διέρχεται πρὸς ἀνατολὰς τὰ νεωστὶ ἀνακαινισθέντα οἰκήματα, κρατεῖ τὴν στράταν, ἀπέρχεται μέχρι τοῦ διώρυγος, ἐν ᾧ καὶ ὁρία ἀπὸ κίονος εὑρέθη κειμένη ὑπὸ γῆν, ἀνεκαινίσθη δὲ παρ' ἡμῶν τὰ νῦν, σωκάρια κ'. εἶτα κάμπτει κατ' εὐθεῖαν τὸν παλαιὸν διώρυγα, περικόπτει τοῦτον μικρόν, ἀπέρχεται μέχρι τοῦ ἱσταμένου ὅρου πλησίον τῆς ἀνακοπῆς, σωκάρια λ'. πάλιν κρατεῖ κατ' εὐθεῖαν τοὺς αὐτοὺς ὅρους, καὶ ἀπέρχεται μέχρι τοῦ ποταμοῦ Μαιάνδρου, σωκάρια νδ', ὁμοῦ σωκάρια ρπ'. εἶθ' οὕτω κάμπτει πρὸς ἀνατολάς, κρατεῖ τὸ αὐτὸ ἀναπόταμον, κατέρχεται πρὸς τὸν ἐπίπλακον ὅρον, σωκάρια κ'. εἶτα κάμπτει πρὸς νότον, κρατεῖ τὰ σύνορα τοῦ προαστείου Λιβαδίου, καὶ

ἀπέρχεται εἰς ἕτερον λίθον ἐπίπλακον ὅρον, τὸν ἀποβλέποντα πρὸς ἀνατολάς, ἐν ᾧ καὶ ἀνθόριον ἐστίν, ἔχων ἕως τῶν ἐκεῖσε σωκάρια ιθ΄. εἶτα κάμπτει πρὸς ἀνατολάς, καὶ ἀνέρχεται ἔξωθεν τῶν παλαιῶν μανδρῶν τοῦ Βαρσακοντινοῦ, ἕτερα σωκάρια κ΄, ἐν ᾧ εὑρέθη καὶ λίθινος μαῦρος ὅρος, σωκάρια νθ΄. κάμπτει πρὸς νότον, ἀπέρχεται κατ' εὐθεῖαν ἄντικρυ τοῦ παλαιοῦ ποταμοῦ εἰς ἕτερον λίθινον μαῦρον ὅρον, ἀνέρχεται κατ' εὐθεῖαν πρὸς νότον εἰς τὴν ὄχθην τοῦ παλαιοῦ ποταμοῦ, ἕως τῶν ἐκεῖ, σωκάρια μα΄, ἐν ᾧ εὑρέθη παλαιὸς λίθος μαῦρος μικρὸς ὅρος, διαχωρίζων δεξιὰ μὲν τὸν παλαιὸν ποταμόν, καὶ εἰσέρχεται αὐτὸν καὶ κρατεῖ τὸ αὐτὸ παραπόταμον καὶ τὰς δίνας δίνας, περικυκλῶν τοῦτον, ἀπέρχεται μέχρι τῆς δημοσίας ὁδοῦ τῆς πλησίον τοῦ ξενοδοχείου, πρὸς τὸν πρόποδα τοῦ βουνοῦ, ἔχων ἀνατολικῶς σωκάρια ρκ΄. εἶτα κάμπτει πρὸς δύσιν καὶ κρατεῖ τὸν πρόποδα τοῦ αὐτοῦ βουνοῦ, ἐναποκλείων ἔσωθεν τὸ οἰκοπροάστειον τῆς Βάρεως, καὶ ἀπέρχεται εἰς τὸ ἀκρομύτισμα τοῦ βουνοῦ τοῦ λεγομένου Πελάκη, εἰς τὸ σύνορον τοῦ προαστείου, ἔνθα καὶ ἤρξατο, ἔχων νοτίως σωκάρια ρα΄. ὁμοῦ πλάτος, ἤτοι βορρᾶ καὶ νότου, σωκάρια ρνη΄, τὸ ἥμισυ τούτων σωκάρια οθ΄. ἀνατολὴ καὶ δύσις σωκάρια σπδ΄, τὸ ἥμισυ τούτου σωκάρια ρμβ΄. ὁμοῦ πλάτος σωκάρια οθ΄, μῆκος σωκάρια ρμβ΄, μοδίων πεντακισχιλίων ἑξακοσίων ἐννέα, σὺν τῆς ἀναρυσθείσης γῆς παρὰ τοῦ οἰκονόμου ἀπὸ τοῦ προαστείου Λιβαδίου μονῆς τῶν Ὀρόβων, καὶ συμπεριορισθείσης καὶ μετρηθείσης, εὑρέθη ἔχουσα πλάτος πρὸς βορρᾶν σωκάρια ιη΄, νότον σωκάρια ϛ΄, μῆκος κατὰ μεσημβρίαν σωκάρια λε΄. ὁμοῦ πλάτος σωκάρια ιβ΄, μῆκος σωκάρια λϛ΄, μοδίων σιϛ΄. ἑτέρα γῆ ἔξωθεν τοῦ τοιούτου περιορισμοῦ, ἡ λεγομένη τῆς Γωνίας, καὶ σύνεγγυς μέρους τοῦ Ὀλύνθου διακειμένη, μοδίων ξζ΄ ἥμισυ. ὁμοῦ ἡ ἅπασα γῆ ὑπεργος τοῦ οἰκοπροαστείου τῆς Βάρεως, ἄνευ τοῦ ὄρους, μοδίων ͵ϛχοϛ΄ ἥμισυ· ἐντὸς δὲ τοῦ τοιούτου περιορισμοῦ καὶ τῶν σιϛ΄ μοδίων τῆς ἀναρυσθείσης γῆς παρὰ τοῦ οἰκονόμου ἀπὸ τῶν δικαίων μονῆς τῶν Ὀρόβων εὑρέθη καθαρπαγεῖσα γῆ παρὰ τῆς αὐτῆς μονῆς, ὡς οἱ πάροικοι καὶ ὁ πρεσβύτερος Μόσχος καὶ ὁ πρωτοκουράτωρ τοῦ οἴκου τῆς Βάρεως ἐξεῖπον, ἥτις καὶ παρ' ἡμῶν οὐκ ἀνεμετρήθη· ὀφείλει δὲ γενέσθαι ἔρευνα, καὶ χωρισθῆναι ὁ τοιοῦτος τόπος μετὰ τιμίου σταυροῦ, καὶ παραδοθῆναι καὶ ταύτην πρὸς τὸ μέρος τοῦ αὐθέντου ἡμῶν, καθὼς προσετάχθημεν. ἔστι καὶ ὁ περιορισμὸς τῆς νομαδιαίας καὶ ὀρεινῆς γῆς τοῦ αὐτοῦ οἰκοπροαστείου οὗτος· ἄρχεται ἀπὸ τῶν συνόρων τοῦ προαστείου Ὀλύνθου καὶ ἀπὸ τῶν παλαιῶν ἁλωνίων, ἐν ᾧ καὶ ῥιζιμαία πέτρα μεγάλη ἵσταται, λεγομένη Καλὴ Πέτρα, καὶ ἀπέρχεται τὸ ἀναρρύακον ὅλον, καὶ ἀπέρχεται μέχρι τοῦ τόπου τοῦ λεγομένου Ἀγριοελαία, ἐν ᾧ καὶ πέτρα μεγάλη ἵσταται εἰς τὴν ῥίζαν τῆς ἀγριελαίας· εἶτα κάμπτει πρὸς δύσιν, κρατεῖ τὸ ἀναρ-

ρύακον, περικόπτει τὴν ῥάχιν τοῦ βουνοῦ καὶ ἀκουμβίζει εἰς τὴν μεγάλην ῥιζιμαίαν πέτραν τὴν λεγομένην τοῦ Πύργου, ἐν ᾧ καὶ γράμματα εὑρέθησαν ἐν αὐτῷ ἐγκεκολαμμένα, γράφοντα· ὅρος βασιλικός, διαιρῶν μὲν ἀριστερᾷ τὰ δίκαια τοῦ Μυρελαίου, δεξιᾷ δὲ τὸν περιοριζόμενον τόπον· καὶ ἀπὸ τῶν ἐκεῖσε ἀπέρχεται κατ' εὐθεῖαν, διαπερῶν τὴν Σκοτεινὴν Λαγκάδα καὶ τὸ κατάρραχον τῆς αὐτῆς λαγκάδος καὶ ἀπέρχεται μέχρι τῆς παλαιᾶς πέτρας τῆς ἐχούσης γραφήν· γράφει δὲ καὶ αὐτή· ὅρος βασιλικός, ἐν ᾧ καὶ πλησίον αὐτῆς δρύες δύο ἵστανται διαχωρίζοντες ὁμοίως καὶ ὁμοίως· καὶ πάλιν κατέρχεται πρὸς βορρᾶν κρατῶν τὴν ῥάχιν τοῦ αὐτοῦ ποταμοῦ, ἀντιπερᾷ τὸ ῥυάκιν τὸ λεγόμενον τὴν Σκοτεινὴν Λαγκάδα, καὶ ἀπέρχεται μέχρι τῆς μαύρης πέτρας τῆς ἐχούσης σταυρὸν ἐγκεκολαμμένον, ἐν ᾧ καὶ δρῦς ἔμπροσθεν ταύτης ἵσταται, καὶ ἀπέρχεται κατ' εὐθεῖαν διαπερῶν τὸ ῥυάκιν τῶν Ἁγίων Ἀποστόλων, καὶ ἀπέρχεται εἰς τὴν μεγάλην πέτραν τὴν μαύρην τὴν ἱσταμένην ἐπάνω τοῦ στρογγύλου βουνοῦ, ἔχουσαν καὶ τὸν σταυρὸν ἐγκεκολαμμένον, ἐν ᾧ καὶ δύο δένδρα πλησίον αὐτῆς ἵστανται· πρὸς δύσιν κάμπτων κρατεῖ τὸ κατάρραχον τὸ πέραθεν τοῦ βουνοῦ, ἀπέρχεται μέχρι τοῦ ῥύακος τοῦ λεγομένου Κουρκουμάκης· εἶθ' οὕτω κάμπτει πρὸς βορρᾶν κρατῶν τὸ καταρρύακον, ἀπέρχεται μέχρι τοῦ παλαιοῦ μύλου, καὶ ἀνέρχεται τὸ κατάρραχον τοῦ βουνοῦ, κρατῶν τὸ αὐτὸ ἀνέρχεται εἰς τὴν Πτέρακα τοῦ Πρωτοσπαθάρη, ὅθεν καὶ ἡ ἀρχὴ τοῦ περιορισμοῦ τῆς ὅλης γῆς τοῦ κάμπου γέγονε, διαχωρίζων ἀριστερᾷ μὲν τὰ δίκαια τοῦ Μυρελαίου, δεξιᾷ δὲ τὰ δίκαια τοῦ περιοριζομένου τόπου, ἐναποκλείων ἔνδοθεν τὸν δρυμῶνα καὶ τὸν ἐλαιῶνα τοῦ αὐτοῦ οἰκοπροαστείου τῆς Βάρεως. ἔσωθεν δὲ τοῦ τοιούτου περιορισμοῦ εὑρέθη καὶ ἡ πατριαρχικὴ μονὴ ἡ λεγομένη τῶν Ναμάτων·

Π ρ ο ά σ τ ε ι ο ν τ ὸ Μ ε λ ά ν ι ο ν. Τὸ τοιοῦτον προάστειον οἰκήματα δεσποτικὰ οὐκ ἔχει. Δ ι ὰ τ ῶ ν π α ρ ο ί κ ω ν τ ο ῦ α ὐ τ ο ῦ π ρ ο α σ τ ε ί ο υ. Γεώργιος τῆς χήρας, ἔχει γυναῖκα Ἄνναν, υἱὸν Ἰωάννην, ζευγαράτος . . . . . . Πέτρος ὁ Καλαβρός, ἔχει γυναῖκα Θεοπέμπτην, θυγατέρα Ἄνναν, ζευγαράτος . . . . . . Δ ι ὰ τ ῶ ν χ ω ρ α φ ί ω ν τ ο ῦ α ὐ τ ο ῦ π ρ ο α σ τ ε ί ο υ τ ῶ ν ὄ ν τ ω ν ἐ ν δ ι α φ ό ρ ο ι ς κ α τ α τ ο μ α ῖ ς. χωράφιον τὸ ὂν εἰς τὸ Μελανούδιον πλησίον τῶν οἰκημάτων σὺν τοῦ ἑτέρου χωραφίου τῶν Ἀλωνίων. βορρᾶς σωκάρια ε', οὐργ. ϛ'. νότος σωκάρια δ', οὐργ. γ'. ἀνατολὴ σωκάρια η', δύσις σωκάρια ε'. ὁμοῦ πλάτος σωκάρια β', οὐργ. θ'. μῆκος σωκάρια δ', οὐργ. ζ', μοδίων ϛ' ἥμισυ. χωράφιον τὸ ὂν εἰς τὴν στάσιν τοῦ Φιλιππικοῦ· δύσις σωκάρια γ', οὐργ. γ', μῆκος σωκάρια β', ἀνατολὴ σωκάρια ε', μῆκος σωκάρια κδ', οὐργ. α', μοδίων ν'. χωράφιον τοῦ Κάμπου, ἀνατολὴ σωκάρια β', δύσις σωκάρια γ', οὐργ. γ'. μῆκος σωκάρια ιβ', οὐργ. α', μοδίων ιϛ'. χωράφιον

τὸ Ἐξώλαμπον· ἔχει δύσις σωκάρια δ', οὐργ. ε', ἀνατολὴ οὐργ. ζ', βορρᾶς σωκάρια ζ', νότος σωκάρια ζ' οὐργ. θ', ὁμοῦ πλάτος σωκάρια β', οὐργ. ϛ', μῆκος σωκάρια ζ', οὐργ. δ' ἥμισυ, μοδίων θ', λιτρῶν κβ'. χωράφιον τῆς Δαγκασμένης ἀνατολὴ σωκάρια ζ', δύσις σωκάρια ζ, μῆκος κατὰ μέσης σωκάρια ιε', ὁμοῦ πλάτος σωκάρια ζ', μῆκος σωκάρια ιε', μοδίων νβ' ἥμισυ. χωράφιον τοῦ Ἁγίου Νικολάου· ἀνατολὴ σωκάρια γ', δύσις σωκάρια δ', μῆκος κατὰ μέσης σωκάρια ϛ'. ὁμοῦ πλάτος σωκάρια γ' ἥμισυ, μῆκος σωκάρια ϛ', μοδίων ι' ἥμισυ. χωράφιον τῆς Ἔχεντρας· νότος σωκάρια γ', οὐργ. δ', βορρᾶς σωκάριον α' οὐργ. ϛ', μῆκος σωκάρια ιγ' οὐργ. δ', ὁμοῦ πλάτος σωκάρια β' ἥμισυ, μῆκος σωκάρια ιγ', οὐργ. δ', μοδίων ιϛ'. χωράφιον τὸ Σχοινάριν· πλάτος ἀνωκάτω σωκάρια γ', μῆκος σωκάρια ϛ', μοδίων ϛ'. χωράφιον τοῦ Καλαμνῶ· ἀνατολὴ σωκάρια β', οὐργ. δ', δύσις σωκάρια β', οὐργ. δ', μῆκος σωκάρια ε', μοδίων ϛ'. χωράφιον τὸ Παραφωνάδιον· νότος σωκάριον α', οὐργ. α', βορρᾶς σωκάρια β', οὐργ. ε', μῆκος σωκάρια ϛ', οὐργ. α', μοδίων ε', λιτρῶν ιη'. χωράφιον τοῦ Φονέως. νότος σωκάρια η', οὐργ. β', βορρᾶς σωκάρια ε', οὐργ. ε', μῆκος σωκάρια ιε', οὐργ. ϛ', ὁμοῦ πλάτος σωκάρια ϛ', οὐργ. η', μῆκος σωκάρια ιε', οὐργ. ϛ', μοδίων νβ', λιτρῶν λβ'. χωράφιον ἡ Καθαρά· δύσις σωκάρια η', οὐργ. θ', ἀνατολὴ σωκάρια η', οὐργ. ε', μῆκος σωκάρια κζ', οὐργ. ϛ, μοδίων ριθ', λιτρῶν λδ'. χωράφιον ἡ Ὀροδάφνη σὺν τοῦ ἑτέρου χωραφίου τῶν κ' μοδίων τῆς αὐτῆς στάσεως, τοῦ καὶ ἀναγραφομένου ἐν τῷ πρακτικῷ, ἤγουν ἀνατολὴ σωκάρια ι', οὐργ. η', δύσις σωκάρια θ', οὐργ. β', μῆκος σωκάρια κε', οὐργ. δ', ὁμοῦ πλάτος σωκάρια ι', μῆκος σωκάρια κε', οὐργ. δ', μοδίων ρκζ'. χωράφιον τὸ λεγόμενον τῶν Ἀγραυλίων, ἤγουν τὸ Μέγα· βορρᾶς σωκάρια ιε', καὶ ἕτερον τῆς καθαρπάσεως σωκάρια γ', οὐργ. ζ', ὁμοῦ σωκάρια ιη', οὐργ. ζ', νότος σωκάρια ιβ' τῆς καθαρπάσεως σωκάρια γ', οὐργ. ζ'. ὁμοῦ σωκάρια ιε', οὐργ. ζ', ὁμοῦ πλάτος σωκάρια ιζ', οὐργ. β', μῆκος σωκάρια κα', οὐργ. β', μοδίων ρπα' ἡμίσεως. ἕτερον χωράφιον τοῦ Ἀγραυλίων, τὸ ἀναγραφόμενον ἐν τῷ πρακτικῷ τοῦ σεκρέτου· ἀνατολὴ σωκάρια ιε', μοδίων μθ', λιτρῶν ε'. ὁμοῦ ὁ μοδισμὸς τῶν χωραφίων τῶν Ἀγραυλίων, σὺν τῶν καθαρπαγέντων καὶ ἀρτίως ἀναρυσθέντων, μόδιοι σλ'. τὸ δὲ πάκτον τοῦ τοιούτου προαστείου, τὰ ρλζ' ἥμισυ νομίσματα, ἀνεγράφαντο εἰς τὸ οἰκοπροάστειον τῆς Βάρεως, καθὼς τὸ πρακτικὸν τοῦ σεκρέτου περιέχει.

**Προάστειον ἡ Μανδράκλου.** Ἐκκλησία ἐν αὐτῷ οὐκ ἔστιν, οὔτε οἰκήματα δεσποτικά. ὑπάρχουσι δὲ ἐν αὐτῷ πάροικοι· Νικηφόρος τοῦ Σαρακηνοῦ, ἔχων γυναῖκα Κισσιανήν, θυγατέρα Μαρίαν, γαμβρὸν Λέοντα, ζευγάριον α', ὄνον α'. ἔστι δὲ ὁ περιορισμὸς τοῦ αὐτοῦ προαστείου οὗτος τῆς ὑπέργου γῆς· ἄρχεται ἀπὸ τοῦ μεγάλου ποταμοῦ τοῦ Μαιάνδρου, ἀπέρχεται πρὸς ἀνατολὰς κρατῶν τὴν

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ ΤΟΜΕΑΣ ΦΙΛΟΣΟΦΙΑΣ ΕΡΓΑΣΤΗΡΙΟ ΕΡΕΥΝΩΝ ΝΕΟΕΛΛΗΝΙΚΗΣ ΦΙΛΟΣΟΦΙΑΣ ΔΙΕΥΘΥΝΣΗ ΚΑΘΗΓΗΤΗΣ ΚΩΝΣΤΑΝΤΙΝΟΣ Θ. ΠΕΤΣΙΟΣ
ΙΩΑΝΝΙΝΑ 2006

τράφον τὸν διαιροῦντα τὰ σύνορα τοῦ προαστείου τῆς μονῆς τῶν Ὀρόβων, καὶ ἀπέρχεται εἰς τὸν ἕτερον μέγαν τράφον τὸν διαιροῦντα τὰ σύνορα τοῦ προαστείου Καταπλινθείας τῆς ἐπισκοπῆς Μαγγίνου, ἔχων σωκάρια θ', κάμπτει πρὸς νότον διὰ τοῦ ἀνατολικοῦ μέρους κρατῶν τὸν αὐτὸν μέγαν τράφον καὶ τὰ σύνορα τῆς Καταπλινθείας, καὶ ἀπέρχεται εἰς τὸν ἕτερον τράφον εἰς τὰ σύνορα τοῦ προαστείου τοῦ Ἁγίου Νικολάου, μονῆς τοῦ Μαγγίνου, σωκάρια λ'. εἶτα κάμπτει πρὸς δύσιν ὀλίγον, ἀπὸ σωκαρίων ε' σωκάρια β' ἥμισυ, καὶ ἀπέρχεται εἰς ὅριον καὶ ἀνθόριον μαυρόλιθον· πάλιν κάμπτει πρὸς νότον καὶ ἀπέρχεται εἰς τὸν παλαιὸν ποταμὸν εἰς τὸ σύνορον τοῦ προαστείου Κλήματος τῶν Πετριτῶν, ἕτερα σωκάρια κβ'. ὁμοῦ ἀνατολὴ ξ' ἥμισυ· καὶ κάμπτει πρὸς δύσιν τὰ αὐτὰ σύνορα τοῦ Κλήματος καὶ τοῦ παλαιοῦ ποταμοῦ, καὶ ἀπέρχεται εἰς τὸ σύνορον τοῦ προαστείου Ἀτζύπου τοῦ Μανικοφόρου, σωκάρια γ' ἥμισυ· εἶθ' οὕτω κάμπτει πρὸς βορρᾶν κρατῶν τὰ Ἀτζύπου, εἶτα ἀνακάμπτει πρὸς ἀνατολὰς ὀρεινότερον, διέρχεται τὴν ὄχθην τοῦ ποταμοῦ Μαιάνδρου, καὶ κρατεῖ τὴν ὄχθην τοῦ ποταμοῦ, ἀπέρχεται εἰς τὸ τράφον εἰς τὰ σύνορα τοῦ προαστείου Ἀτζύπου τῶν Ὀροβίων, ἔνθα καὶ ἤρξατο, ἔχων δύσιν σωκάρια νη'. ὁμοῦ πλάτος σωκάρια ς', ὀργ. β', μῆκος σωκάρια νθ', ὀργ. β', μοδίων ρπε', λιτρῶν ε'. τὰ νῦν δὲ εὑρέθη γῆ μοδίων λς', τὴν δὲ λοιπὴν γῆν ἀπώλεσεν ὁ ποταμὸς πέραν πέραν, ἥτις ὑπάρχει μυρικότοπος. ἐμετρήθη καὶ τὸ πέραν τοῦ ποταμοῦ Μαιάνδρου τὸ πλησίον τοῦ ποταμοῦ τοῦ Γηροκόμου, καὶ εὑρέθη πρὸς μὲν βορρᾶν σωκάρια ιε', πρὸς δὲ δύσιν σωκάρια κε', καὶ πρὸς νότον ἕως τοῦ ποταμοῦ σωκάρια ζ'. ὁμοῦ πλάτος σωκάρια ιζ', μῆκος σωκάρια ιε', μοδίων σιβ' ἥμισυ, ἄνευ τῆς ὑπέργου γῆς τῆς ἀποσπασθείσης παρὰ τοῦ ποταμοῦ καὶ γενομένης μυρικοτόπου, ὡσεὶ μοδίων τζα', λιτρῶν κε'.

Ἀμπελοκήπιον τὸ ὂν πλησίον τῆς ἐπισκοπῆς Πριήνης, ὡσεὶ μοδίων λ', τὸ λεγόμενον Μυκτιρινόν, καὶ πάροικος ὁ προσκαθήμενος ἐν αὐτῷ, Γεώργιος ὁ Ἀνεμοτριχᾶς, ἔχων υἱὸν Μιχαήλ, ἐγγόνην Ἄνναν, γαμβρὸν Ἰωάννην. εὑρέθη καὶ γῆ ὕπεργος ἐντὸς αὐτοῦ τοῦ ἀμπελοκηπίου μοδίων δ', καθὼς τὸ πρακτικὸν τοῦ σεκρέτου διαλαμβάνει.

**Προάστειον ὁ Πρίνος τὸ ὂν ὑπὸ τῆς Μανδρακλῆς.** Τὸ τοιοῦτον προάστειον εὑρέθη παντελῶς ἄοικον, μήτε οἰκήματα τὸ σύνολον ἔχον· ὁ δὲ περιορισμὸς τοῦ προαστείου ἐστὶν οὗτος· ἄρχεται ἀπὸ τὸ χεῖλος τοῦ ῥύακος τοῦ λεγομένου τῆς Χονδροχυτῆς, ἐν ᾧ καὶ πλησίον αὐτοῦ δρῦς ἵσταται, καὶ σταυρὸς ἐν αὐτῷ γέγονε, καὶ κατέρχεται τὸ καταρρύακον πρὸς δύσιν κρατῶν τὸ αὐτὸ καταρρύακον. ἀπέρχεται μέχρι τοῦ μυτίσματος τοῦ μικροῦ βουνιτζίου τοῦ πλησίον τοῦ ἑτέρου ῥύακος ἱσταμένου, ἔνθα καὶ πεύκη ἵσταται πλησίον αὐτοῦ. καὶ ἀπὸ τῶν

ἐκεῖσε κάμπτει πρὸς νότον κρατῶν τὸ ἀναρρύακον τὸ λεγόμενον τοῦ Μικροῦ Πηγγαδίου, καὶ ἀπέρχεται μέχρι τοῦ γεφυρίου· περικόπτει τὸ αὐτὸ καὶ ἀπέρχεται πάλιν τὸ αὐτὸ ἀναρρύακον, καὶ ἔρχεται μέχρι τοῦ ἱσταμένου δρυὸς εἰς τὸ ὀφρύδιον τοῦ ῥύακος τοῦ πλησίον τοῦ ἀμπελίου τοῦ χωρίου Πρίνης, διαχωρίζων δεξιᾷ μὲν [τὰ δίκαια] τοῦ χωρίου Πρίνης, ἀριστερᾷ δὲ τοῦ περιοριζομένου τόπου. καταλιμπάνει τὸ αὐτὸ ῥυάκιον ἀριστερᾷ κρατῶν τὸν τράφον τοῦ ἀμπελίου μικρόν, καὶ ἀπέρχεται μέχρι τοῦ βαστάματος καὶ τῆς λιθοσωραίας, ἐν ᾧ καὶ δρῦς μέγας ἵσταται πλησίον αὐτοῦ· καταλιμπάνει δεξιᾷ μὲν τὰ δίκαια τοῦ χωρίου Πρίνης, ἀριστερᾷ δὲ τοῦ περιοριζομένου τόπου· κάμπτει μικρὸν πρὸς τὸν Βάσταγαν, ἀντιπερνᾷ τὸ ῥυάκιν, καὶ κρατεῖ τὴν ῥάχιν τοῦ αὐτοῦ βουνοῦ, καὶ ἀπέρχεται ἐπάνω τῆς κορυφῆς αὐτοῦ· καταλιμπάνει αὐτήν, ἀπέρχεται κατ' εὐθεῖαν πρὸς ἀνατολάς, καταλιμπάνει ἀριστερᾷ τὸν μέγαν δρῦν τὸν ἱστάμενον εἰς τὸ χωράφιον τοῦ περιοριζομένου τόπου, καὶ ἀπέρχεται μέχρι τοῦ Βάσταγος πλησίον τοῦ δρυός, διαχωρίζων δεξιᾷ μὲν τὰ δίκαια τῆς ἐπισκοπῆς ἄνω, ἀριστερᾷ δὲ τὸν περιοριζόμενον τόπον· κρατῶν τὸν αὐτὸν Βάσταγαν ἀποδιαβαίνει τὴν λιθοσωραίαν καὶ τοὺς πρίνους, καὶ κατέρχεται κατ' εὐθεῖαν μέχρι τοῦ ῥύακος τοῦ λεγομένου τῆς Μονοελαίας, διαχωρίζων δεξιᾷ μὲν [τὰ δίκαια] τῆς ἐπισκοπῆς ἄνω, ἀριστερᾷ δὲ τοῦ περιοριζομένου τόπου. εἶτα κάμπτει πρὸς βορρᾶν κρατῶν τὸ αὐτὸ ἀναρρύακον, καὶ ἀπέρχεται μέχρι τῆς ὁδοῦ τῆς διερχομένης ἀπὸ τοῦ Μαιάνδρου καὶ ἀπερχομένης εἰς τὸ προάστειον Πρίνης. εἶθ' οὕτω κάμπτει πρὸς δύσιν κρατῶν τὴν αὐτὴν στράταν, καὶ ἀπέρχεται μέχρι τοῦ μεγάλου δρυὸς τοῦ ἱσταμένου πλησίον τῆς λιθοσωραίας καὶ τοῦ πριναρίου, διαχωρίζων δεξιᾷ μὲν τὰ δίκαια τοῦ προαστείου Πρίνης, τοῦ ἁγίου Θεολόγου, ἀριστερᾷ δὲ τὸν περιοριζόμενον τόπον· καὶ ἀπὸ τῶν ἐκεῖσε κάμπτει πρὸς βορρᾶν, περικόπτει τὴν στράταν, τὸν ξηρότροχον τὸν ὄντα ἔμπροσθεν τῆς ἐκκλησίας τοῦ Ἀσωμάτου, περικόπτει τὰ καταλύματα τοῦ προαστείου, καὶ ἀπέρχεται τὸν πρίνον τὸν ἱστάμενον πλησίον τοῦ δρυὸς τῆς Τζερημιάνου, καὶ τὰ ὑπόκλημμα δένδρα, ἀποκλείων αὐτὰ ἀριστερᾷ πρὸς τὸν περιοριζόμενον τόπον, καὶ ἀπέρχεται εἰς τὸ χεῖλος τοῦ ῥύακος τῆς Σκορδοχήνας, ἔνθα καὶ ἤρξατο, διαχωρίζων δεξιᾷ μὲν τὰ δίκαια τοῦ προαστείου Πρίνης, τοῦ ἁγίου Θεολόγου, ἀριστερᾷ δὲ τὸν περιοριζόμενον τόπον. ἔσωθεν δὲ τοῦ τοιούτου περιορισμοῦ ἔστι καὶ γῆ ὑπεργος καὶ νομαδιαία, ἥτις οὐκ ἀνεμετρήθη. εἰσὶ δὲ καὶ ἐλαῖαι ἐννενήκοντα κορμοί, δρύες τεσσαράκοντα καὶ δύο, καὶ ἕτερα δένδρα διαφόρων ὀπωρῶν.

* **Προάστειον αἱ Γαλαΐδαι σὺν τοῦ τόπου τῆς Λάδης.** Ἐκκλησία λιθόκτιστος, ὑποκέραμος καὶ τεθυρωμένη, ἡ ὑπεραγία Θεοτόκος, καὶ ὀσπήτια λιθοπηλόκτιστα ἀνωγεωκάτωγα τρία. ὁ δὲ περιορισμὸς τοῦ τοιούτου προαστείου οὐχ

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ ΤΟΜΕΑΣ ΦΙΛΟΣΟΦΙΑΣ ΕΡΓΑΣΤΗΡΙΟ ΕΡΕΥΝΩΝ ΝΕΟΕΛΛΗΝΙΚΗΣ ΦΙΛΟΣΟΦΙΑΣ ΔΙΕΥΘΥΝΣΗ ΕΠΙΚΑΘΗΓΗΤΗΣ ΚΩΝΣΤΑΝΤΙΝΟΣ Θ. ΠΕΤΣΙΟΣ
Ε.Γ.Λ. της Κ.Π. ΙΩΑΝΝΙΝΑ 2006

εὑρέθη ἐν τῷ πρακτικῷ, ἀλλὰ μοδισμὸν ἔχει μόνον, ὡς εἶναι τὸ ὅλον προάστειον σὺν τοῦ τόπου τῆς Λάδης μοδίων ψξβ', λιτρῶν δέκα. τὸ αὐτὸ ἀναμετρήσαντες καὶ ἡμεῖς εὕρομεν οὕτως, κατὰ τὴν περίληψιν τοῦ πρακτικοῦ τοῦ σεκρέτου. εὑρέθησαν δὲ ἐντὸς τοῦ περιορισμοῦ τοῦ τοιούτου προαστείου δένδρα ἐλαϊκὰ καὶ ἕτερα δένδρα κάρπιμα ὀπωρῶν διαφόρων. ὁμοῦ πάροικοι οἱ εὑρεθέντες εἴς τε τὸ οἰκοπροάστειον τῆς Βάρεως καὶ τὰ εἰρημένα πάντα προάστεια, διζευγαράτοι οὐδείς, μονοζευγαράτοι ιη', βοϊδάτοι ϛ', καπνικάριοι κε', ἔχοντες ἀργὰ ἄλογα καὶ ὄνους, τελοῦντες, οἱ μὲν διζευγαράτοι καὶ οἱ μονοζευγαράτοι ὑπὲρ συνωνῆς καὶ καπνικοῦ αὐτῶν, ἀνὰ νομίσματος ἑνός, οἱ δὲ βοϊδάτοι ἀνὰ νομίσματος ἡμίσεος, καὶ οἱ καπνικάριοι οἱ ἔχοντες ὄνους, ἀνὰ νομίσματος ἡμίσεος, ὡς ἐξκουσσάτοι· οἱ δὲ μὴ ἔχοντες ὄνους, ἀνὰ μιλιαρισίων γ', παρέχοντες ἀμφότεροι καὶ ὑπὲρ ἐννομίου τῶν ἀργῶν κτηνῶν καὶ ἀλόγων καὶ ὄνων αὐτῶν, ἕκαστος ἀκτήμων, ἀνὰ μιλιαρισίου ἑνός, καὶ ὑπὲρ τῶν προβάτων αὐτῶν κατὰ ἑκατόν, ἕκαστος ἀκτήμων νόμισμα α', καὶ καθεξῆς, ἤγουν εἰς τὰ πεντήκοντα, τὸ ἥμισυ· καὶ ὑπὲρ χωροπάκτου τῆς κατεχομένης παρ' ἑκάστου αὐτῶν γῆς, κατὰ δέκα μοδίων νόμισμα α'. ἔστι δὲ καὶ ἡ τοπικὴ ἔξοδος τοῦ τοιούτου προαστείου οὕτως· ὁ κουράτωρ ὑπὲρ τοῦ ὅλου χρόνου, ὑπὲρ μὲν ῥόγας αὐτοῦ νομίσματα β', ὑπὲρ δὲ ἀνόνας αὐτοῦ ἀντὶ σίτου μοδίων δώδεκα, νόμισμα α'· καὶ ὑπὲρ συνηθείας τοῦ ἐπισκεπτίτου κατὰ δέκα νομισμάτων, νόμισμα α'. καὶ ὁμοῦ πᾶσα ἡ εἴσοδος τῶν αὐτῶν προαστείων νομίσματα τζ', ἀφ' ὧν ἡ τοπικὴ ἔξοδος νομίσματα γ', καὶ λοιπὰ πάντα τ'. τούτων οὕτω παραδοθέντων τῷ μέρει τοῦ πανυπερλάμπρου πρωτοπροέδρου καὶ πρωτοβεστιαρίτου καὶ μεγάλου δομεστίκου, κυροῦ Ἀνδρονίκου τοῦ Δούκα, τὸ παρὸν πρακτικὸν ἐξετέθη, ὃ καὶ συνήθως ὑπογραφὲν καὶ πιστωθὲν παρ' ἐμοῦ ἐπεδόθη. μηνὶ ἰουνίῳ, ἰνδικτιῶνος ια' †.

Ἡ ὑπογραφή· † Ἀδάμ, πατριαρχικὸς νοτάριος καὶ δομέστικος τοῦ σεκρέτου τοῦ οἰκονόμου .†. Εἶχε δὲ καὶ βοῦλλαν μολυβδίνην κάτωθεν ἀπῃωρημένην, καὶ ὑπογραφήν· † Ὁ εὐτελὴς μοναχὸς Θεόκτιστος καὶ καθηγούμενος [τῆς] τῆς Παναχράντου μονῆς †.

† Τὸ παρὸν ἴσον παρεκβληθὲν ἀπὸ τῶν ἐναποκειμένων χαρτίων ἐν τῷ ὑφ' ἡμᾶς ἱεροχαρτοφυλακίῳ τῆς μητροπόλεως Μιλήτου καὶ ἰσάζον εὑρὼν ὑπέγραψα †.

† . . . . . . . μητροπόλεως Μιλήτου Γεώργιος . . . . . ρασολαμν . . . . . †.

*Exemplar. Florides numero 51. b. Vide notam ad numerum I.*

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ ΕΡΓΑΣΤΗΡΙΟ ΜΕΣΑΙΩΝΙΚΗΣ ΦΙΛΟΣΟΦΙΑΣ ΔΙΑΚΟΝΗΣ Π. ΝΕΟΕΛΛΗΝΙΚΗΣ ΦΙΛΟΛΟΓΙΑΣ ΚΑΘΗΓΗΤΗΣ ΚΩΝΣΤΑΝΤΙΝΟΣ Θ. ΠΕΤΣΙΟΣ
Ε.Υ.Δ της Κ.τ.Π. ΙΩΑΝΝΙΝΑ 2006